Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Paraleipomena tou prophetou Ieremiou : liber apocryphus,

https://hdl.handle.net/1874/380146

11

Aevum vetus.
Scriptores graeci.
N°. 22

280. p.

Kast I
R. C. N° 11

21 (*Gr. 22*) *Charta. 4°. 18 pp. Saec. XVIII.*
**Paralipomena Jeremiae** prophetae. Liber apocryphus.

Hs.
1 C 11

# ΠΑΡΑΛΕΙΠΟΜΕΝΑ
## ΤΟΥ ΠΡΟΦΗΤΟΥ
# ΙΕΡΕΜΙΟΥ.

*Liber Apocryphus.*

ACADEMIA RHENO TRAIECTINA

~~[illegible]~~

# Τὰ παραλειπόμενα τοῦ προφήτου Ἱερεμίου.

Ἐγένετο ἡνίκα ᾐχμαλωτεύθησαν οἱ υἱοὶ Ἰσραὴλ ὑπὸ τοῦ βασιλέως τῶν Χαλδαίων, ἐλάλησεν ὁ θεὸς πρὸς Ἱερεμίαν λέγων. Ἱερεμία ὁ ἐκλεκτός μου, ἀνάστα καὶ ἔξελθε ἐκ τῆς πόλεως ταύτης, σὺ καὶ Βαρούχ· ἐπειδὴ ἀπολῶ αὐτὴν διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν τῶν κατοικούντων ἐν αὐτῇ. εἰ γὰρ προσευχαὶ ὑμῶν ὡς στύλος ἑδραῖος εἰσὶν ἐν μέσῳ αὐτῆς, καὶ ὡς τεῖχος ἀδαμάντινος περικυκλῶν αὐτήν. νῦν σὺν ἀναστάντες ἐξέλθατε πρὸ τοῦ ἡ δύναμις τῶν Χαλδαίων κυκλώσει αὐτήν. καὶ ἐλάλησεν Ἱερεμίας πρὸς κύριον λέγων. παρακαλῶ σε κύριε, ἐπίτρεψόν μοι τῷ δούλῳ σου λαλῆσαι ἐνώπιόν σου. εἶπεν δὲ ὁ κύριος· λάλει ὁ ἐκλεκτός μου Ἱερεμία. καὶ ἐλάλησεν Ἱερεμίας λέγων· κύριε παντοκράτωρ παραδίδως τὴν πόλιν σου τὴν ἐκλεκτὴν εἰς χεῖρας τῶν Χαλδαίων· ἵνα καυχήσηται ὁ βασιλεὺς μετὰ τοῦ πλήθους αὐτοῦ, καὶ εἴπῃ ὅτι ἴσχυσα ἐπὶ τὴν ἱερὰν πόλιν τοῦ θεοῦ, μὴ κύριε ἐμοῦ. ἀλλ' εἰ θέλημά σου ἐστίν ἐκ τῶν χειρῶν σου ἀφανισθήτω. καὶ εἶπεν ὁ κύριος τῷ Ἱερεμίᾳ, ἐπειδὴ ἐκλεκτός μου εἶ, ἀνάστα σὺ καὶ Βαρούχ, καὶ ἔξελθε ἐκ τῆς πόλεως ταύτης, ἐπειδὴ ἀπολῶ αὐτὴν διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν τῶν κατοικούντων ἐν αὐτῇ. οὔτε γὰρ ὁ βασιλεὺς οὔτε ἡ δύναμις αὐτοῦ δυνήσεται εἰσελθεῖν ἐν αὐτῇ, εἰ μὴ ἐγὼ πρῶτος ἀνοίξω τὰς πύλας αὐτῆς. ~~[illegible]~~ ἀνάστηθι οὖν καὶ ἄπελθε πρὸς Βαρούχ, καὶ ἀπάγγειλον αὐτῷ τὰ ῥήματα ταῦτα, καὶ ἀναστάντες ἐκ τῇ ὥρᾳ τῆς νυκτὸς ἔλθετε ἐπὶ τὰ τείχη τῆς πόλεως, καὶ δείξω ὑμῖν, ὅτι ἐὰν μὴ ἐγὼ πρῶτος ἀφανίσω τὴν πόλιν, οὐ δύνανται εἰσελθεῖν ἐν αὐτῇ.

[illegible]

Ταῦτα εἰπὼν ὁ κύριος ἀπῆλθεν ἀπὸ τοῦ ἱερεμίου, ἐξελθὼν
δὲ ὁ ἱερεμίας ἀνήγγειλεν ταῦτα τῷ βαρούχ. καὶ ἐλθόντες εἰς
τὸν ναὸν τοῦ θεοῦ, διέρρηξεν τὰ ἱμάτια αὐτοῦ ἱερεμίας, καὶ ἐπέθηκε
χοῦν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἤρξαντο ἀμφότεροι κλαίειν ἐν τῷ
ἁγιαστηρίῳ τοῦ θεοῦ. ἰδὼν δὲ αὐτὸν ὁ βαρούχ χοῦν πεπασμένον ἐπὶ
τὴν κεφαλὴν αὐτοῦ, καὶ τὰ ἱμάτια αὐτοῦ διερρηγμένα, ἔκραξεν φωνῇ
μεγάλῃ λέγων· Πάτερ ἱερεμία τί ἐστίν σοι, ἢ ποῖον ἁμάρ-
τημα ἐποίησαν ὁ λαός, (ἐπειδὴ ὅταν ἡμάρτανεν ὁ λαὸς χοῦν
ἔβαλλεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.) ὁ ἱερεμίας καὶ ηὔχετο
ὑπὲρ τοῦ λαοῦ, ἕως ἂν ἀφεθῇ αὐτῶν τὸ ἁμάρτημα. ἠρώτησεν
δὲ αὐτὸν βαρούχ λέγων. Πάτερ ἱερεμία τί ἐστιν τοῦτο. εἶπεν
δὲ αὐτῷ ὁ ἱερεμίας· φύλαξε τοῦ σχίσαι τὰ ἱμάτιά σου ἀλλὰ
μᾶλλον σχίσωμεν τὰς καρδίας ἡμῶν, καὶ μὴ ἀντλήσωμεν
ὕδωρ ἐπὶ τὰς ποτίστρας ἀλλὰ κλαύσωμεν ἕως ὅτι γεμίσωμεν
αὐτὰς δακρύων, ὅτι οὐ μὴ ἐλεήσει τὸν λαὸν τοῦτον. καὶ εἶπεν
βαρούχ· Πάτερ ἱερεμία τί γέγονεν. καὶ εἶπεν ἱερεμίας ὅτι ὁ
θεὸς παραδίδωσι τὴν πόλιν εἰς χεῖρας τοῦ βασιλέως χαλδαίων,
τοῦ αἰχμαλωτεῦσαι τὸν λαὸν εἰς βαβυλῶνα. καὶ ἀκούσας βα-
ρούχ διέρρηξεν καὶ αὐτὸς τὰ ἱμάτια αὐτοῦ, λέγων πάτερ ἱερεμία,
τίς σοι ἐδήλωσεν τοῦτο, καὶ εἶπεν αὐτῷ ἱερεμίας, ἔκδεξαι μι-
κρὸν μετ' ἐμοῦ ἕως ὥρας ἕκτης τῆς νυκτός, καὶ γνώσῃ ἐχθὲς ὅτι
ἀληθές ἐστιν τὸ ῥῆμα τοῦτο, ἔμειναν οὖν ἀμφότεροι ἐν τῷ θυσια-
στηρίῳ κλαίοντες, καὶ ἦσαν διερρηγμένα τὰ ἱμάτια αὐτῶν, καὶ
γῆ ἐπὶ τῆς κεφαλῆς αὐτῶν. ὅτε δὲ ἐγένετο ἡ ὥρα καθὼς
εἶπεν ὁ κύριος τῷ ἱερεμίᾳ ἦλθον ὁμοῦ ἐπὶ τὰ τείχη τῆς πό-
λεως ἱερεμίας καὶ βαρούχ, καὶ ἰδοὺ ἐγένετο φωνὴ σαλπίγγων
καὶ ἐξῆλθον ἄγγελοι ἐκ τοῦ οὐρανοῦ κατέχοντες λαμπάδας ταῖς
χερσὶν αὐτῶν, καὶ ἔστησαν ἐπὶ τὰ τείχη τῆς πόλεως. ἰδόντες
δὲ αὐτοὺς ἱερεμίας καὶ βαρούχ ἔκλαυσαν καὶ εἶπαν, νῦν ἔγνω-
μεν ὅτι ἀληθές ἐστιν τὸ ῥῆμα. παρεκάλεσεν δὲ ἱερεμίας τοὺς
ἀγγέλους λέγων. παρακαλῶ οὖν ὑμᾶς μὴ ἀπολέσητε τὴν πόλιν
ἕως ἂν ἐπερωτήσω τὸν κύριον μου ῥῆμα. ἐλάλησεν δὲ κύριος
τοῖς ἀγγέλοις λέγων. μὴ ἀπολέσητε τὴν πόλιν ἄρτι, ἕως λα-
λήσω μετὰ τοῦ ἐκλεκτοῦ μου ἱερεμίου. τότε ὁ ἱερεμίας ἐλά-
λησεν πρὸς κύριον λέγων δέομαί σου κύριε, κέλευσόν με λαλῆσαι
ἐνώπιόν σου, καὶ εἶπεν ὁ κύριος, λάλει ὁ ἐκλεκτός μου ἱερεμία.

καὶ εἶπεν ἱερεμίας, ἰδοὺ κύριε ἐγνώκαμεν ὅτι παραδίδης τὴν πό-
λιν σου εἰς χεῖρας τῶν ἐχθρῶν αὐτῆς, καὶ ἀπάξουσι τὸν λαὸν εἰς
βαβυλῶνα. τί θέλεις ποιήσω τὰ ἅγια σου σκεύη. καὶ εἶπεν αὐτῷ
κύριος. ἆρον αὐτὰ καὶ παράδος τῇ γῇ λέγων. ἄκουε γῆ τῆς φωνῆς
τοῦ κτίσαντός σε, ἐν τῇ περιουσίᾳ τῶν ὑδάτων ὁ σφραγίσας
σε ἐν ἑπτὰ σφραγῖσιν, ἐν ἑπτὰ καιροῖς. καὶ μετὰ ταῦτα λήψει
τὴν ὡραιότητά σου. φύλαξον τὰ σκεύη τῆς λειτουργίας, ἕως
τῆς συνελεύσεως τοῦ ἠγαπημένου.

Ἐλάλησεν δὲ ἱερεμίας λέγων, παρακαλῶ σε κύριε δεῖ-
ξον μοι τί ποιήσω ἀβιμέλεχ τῷ αἰθίοπι, ὅτι πολλὰς εὐεργε-
σίας ἐποίησεν τῷ δούλῳ σου ἱερεμίᾳ. ὅτι αὐτὸς ἀνέσπασέν με ἐκ
τοῦ λάκκου τοῦ βορβόρου, καὶ οὐ θέλω αὐτῷ ἰδεῖν τὸν ἀφανισμὸν
τῆς πόλεως ταύτης καὶ τὴν ἐρήμωσιν, ἀλλ' ἵνα ἐλεήσεις αὐτὸν
καὶ μὴ λυπηθῇ. καὶ εἶπεν κύριος τῷ ἱερεμίᾳ. ἀπόστειλον
αὐτὸν εἰς τὸν ἀμπελῶνα τοῦ ἀγρίππα, καὶ ἐν τῇ σκιᾷ τοῦ ὄρους
ἐγὼ σκεπάσω αὐτόν, ἕως οὗ ἀποστρέψω τὸν λαὸν εἰς τὴν πόλιν.

Εἶπεν δὲ κύριος ἱερεμίᾳ, ἄπελθε σὺ μετὰ τοῦ λαοῦ εἰς βαβυ- ^ τῶ
λῶνα καὶ μεῖνον μετ' αὐτῶν εὐαγγελιζόμενος αὐτοῖς, ἕως οὗ
ἀποστρέψω αὐτοὺς εἰς τὴν πόλιν. κατάλειψον δὲ τὸν βαρούχ
ὧδε ἕως οὗ λαλήσω αὐτῷ. καὶ ταῦτα εἰπὼν ὁ κύριος ἀνέβη εἰς τὸν οὐρανόν.

Ἱερεμίας δὲ καὶ βαρούχ εἰσῆλθον ἐν τῷ ἁγιαστηρίῳ τοῦ θεοῦ
καὶ ἐπάραντες τὰ σκεύη τῆς λειτουργίας παρέδωκαν αὐτὰ τῇ
γῇ, καθὼς ἐλάλησεν αὐτοῖς ὁ θεός, καὶ εὐθέως κατέπιεν αὐτὰ ἡ
γῆ. καὶ ἐκάθισαν οἱ δύο, καὶ ἔκλαυσαν ἅμα. πρωΐας δὲ γενομένης
ἀπέστειλεν ἱερεμίας τὸν ἀβιμέλεχ λέγων, ἆρον τὸν κόφινον καὶ ἄ-
πελθε εἰς τὸ χωρίον τοῦ ἀγρίππα διὰ τῆς ὁδοῦ τοῦ ὄρους. καὶ ἔνεγκε
ὀλίγα σῦκα τοῖς νοσοῦσι τοῦ λαοῦ, ὅτι ἐπὶ σὲ ἡ εὐφρασία τοῦ
θεοῦ, καὶ ἐπὶ τὴν κεφαλήν σου δόξα. καὶ ταῦτα εἰπὼν ἱερεμίας
ἀπέλυσεν αὐτόν. Ὁ δὲ ἀβιμέλεχ ἐπάρας τὸν κόφινον
ἐπορεύθη, καθὼς εἶπεν αὐτῷ ἱερεμίας. πρωΐας δὲ γενομένης
ἰδοὺ ἡ δύναμις τῶν χαλδαίων ἐκύκλωσαν πᾶσαν τὴν πόλιν
ἱερουσαλήμ. ἐσάλπισεν δὲ ὁ μέγας ἄγγελος λέγων. εἰσέλθετε εἰς
τὴν πόλιν πᾶσα ἡ δύναμις τῶν χαλδαίων, ἰδοὺ γὰρ ἠνεῴχθη
ὑμῖν ἡ πύλη, εἰσέλθατε σὺν ὁ βασιλεὺς μετὰ τοῦ πλήθους
αὐτοῦ, καὶ αἰχμαλωτεύσατε πάντα τὸν λαόν.

Καὶ ὁ ἱερεμίας ἄρας τὰς κλεῖδας τοῦ ναοῦ ἐξῆλθεν ἔξω τῆς πόλεως, καὶ ἔρριψεν αὐτὰς ἐνώπιον τοῦ ἡλίου λέγων· σοὶ λέγω ἥλιε, λάβε τὰς κλεῖδας τοῦ ναοῦ τοῦ θεοῦ, καὶ φύλαξον αὐτὰς ἕως τῆς ἡμέρας, ἐν ᾗ ἐξετάσει σε κύριος ὁ θεὸς περὶ αὐτῶν, διότι ἡμεῖς οὐκ εὑρέθημεν ἄξιοι τοῦ φυλάξαι αὐτάς. ὅτι ἐπίτροποι τοῦ ψεύδους ἐγενήθημεν. ἔτι κλαίων ὁ ἱερεμίας τὸν λαὸν ἤλκαντο εἰς βαβυλῶνα ὑπὸ τοῦ βαβυλῶνος τῶν χαλδαίων. ὁ δὲ βαρούχ ἐπέθηκε χοῦν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐκάθισεν καὶ ἔκλαυσε τὸν θρῆνον τοῦτον λέγων.

βασιλέως

διατί ἠρημώθη ἱερουσαλήμ; διὰ τὰς ἁμαρτίας τοῦ ἠγαπημένου λαοῦ παρεδόθη εἰς χεῖρας ἐθνῶν. διὰ τὰς ἁμαρτίας ἡμῶν καὶ τοῦ λαοῦ, ἀλλὰ μὴ καυχάσθωσαν οἱ παράνομοι, καὶ μὴ εἴπωσιν, ὅτι ἠδυνήθημεν λαβεῖν τὴν πόλιν τοῦ θεοῦ ἐν τῇ δυνάμει ἡμῶν, ἀλλὰ διὰ τὰς ἁμαρτίας ἡμῶν παρεδόθημεν. ὁ δὲ θεὸς ἡμῶν οἰκτειρήσει ἡμᾶς καὶ ἐπιστρέψαι ἡμᾶς εἰς τὴν πόλιν ἡμῶν. ὑμεῖς δὲ ζωὴν οὐκ ἔχετε. μακάριοι εἰσὶν οἱ πατέρες ἡμῶν ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακώβ, ὅτι ἐξῆλθον ἐκ τοῦ κόσμου τούτου, καὶ οὐκ εἶδον τὸν ἀφανισμὸν τῆς πόλεως ταύτης. Ταῦτα εἰπὼν ὁ βαρούχ ἐξῆλθεν ἔξω τῆς πόλεως κλαίων καὶ λέγων· ὅτι διὰ σὲ ἱερουσαλὴμ ἐξῆλθον ἀπὸ σοῦ. καὶ ἔμεινεν ἐν μνημείῳ καθεζόμενος τῶν ἀγγέλων ἐρχομένων καὶ ἐκδιηγουμένων αὐτῷ περὶ πάντων, ὧν ὁ κύριος ἐμήνυεν αὐτῷ δι' αὐτῶν.

Ὁ δὲ ἀβιμέλεχ ἔλαβεν τὰ σῦκα τῷ καύματι, καὶ καταβαίνων ἐκ τοῦ δένδρου ἐκάθισεν ἐπὶ τὴν σκιὰν αὐτοῦ ἀναπαῦσαι ὀλίγον. καὶ κλίνας τὴν κεφαλὴν αὐτοῦ ὑπὸ τὸν κόφινον τῶν σύκων, ὕπνωσεν ἔτη ἑξήκοντα ἓξ καὶ οὐκ ἐξυπνίσθη τοῦ ὕπνου αὐτοῦ κατὰ πρόσταξιν θεοῦ, διὰ τὸν λόγον ὃν εἶπεν τῷ ἱερεμίᾳ, ὅτι ἐγὼ αὐτὸν σκεπάσω. καὶ μετὰ ταῦτα ἐγερθεὶς ἀπὸ τοῦ ὕπνου αὐτοῦ εἶπεν· ~~οτ~~ ὅτι ἡδέως ἐκοιμήθην ὀλίγον, ἀλλὰ βεβαρημένη ἐστὶν ἡ κεφαλή μου, διότι οὐκ ἐκορέσθην τοῦ ὕπνου μου. καὶ ἀνακαλύψας τὸν κόφινον τῶν σύκων, εὗρεν τὰ σῦκα στάζοντα τὸ γάλα καὶ εἶπεν, ἤθελον κοιμηθῆναι ἔτι ὀλίγον, ὅτι ~~βε~~ βεβαρημένη ἐστὶν ἡ κεφαλή μου, ~~διότι οὐκ ἐκορέσθην τοῦ ὕπνου μου, καὶ ἀνακαλύψας τὸν κόφινον τῶν σύκων εὗρεν~~, ἀλλὰ φοβοῦμαι μήπως κοιμηθῶ καὶ βραδύνω τοῦ ἐξυπνισθῆναι, καὶ ὀλιγωρήσει ἱερεμίας

ὁ πατήρ μου. εἰ μὴ γὰρ ἐσπούδαζεν οὐκ ἂν ἀπέστειλέν με
σήμερον. ἀναστὰς οὖν πορεύσομαι τῷ καύματι, καὶ ἀπελθώ,
οὐ καῦμα οὐ κόπος ἐστὶν καθ' ἡμέραν.

Ἐγερθεὶς οὖν ἦρεν τὸν κόφινον τῶν σύκων, καὶ ἐπέθηκεν
ἐπὶ τῶν ὤμων αὐτοῦ, καὶ εἰσῆλθεν εἰς ἱερουσαλὴμ, καὶ οὐκ
ἔγνω αὐτήν. οὔτε τὴν οἰκίαν οὔτε τὸ γένος αὐτοῦ, οὔτε τινὰ εὗρεν.
καὶ εἶπεν εὐλογητὸς κύριος, ὅτι μεγάλη ἔκστασις ἐπέπεσεν ἐπ'
ἐμὲ σήμερον. οὐκ ἔστιν αὕτη ἡ πόλις ἱερουσαλὴμ, πεπλάνημαι
διὰ τῆς ὁδοῦ τοῦ ὄρους, οὗ ἦλθον ἐγερθεὶς ἀπὸ τοῦ ὕπνου μου,
καὶ βαρέας οὔσης τῆς κεφαλῆς μου, διὰ τὸ μὴ κορεσθῆναί
με τοῦ ὕπνου μου, πεπλάνημαι τὴν ὁδόν. θαυμαστὸν εἰπεῖν
τοῦτο ἐνώπιον ἱερεμίου, ὅτι πεπλάνημαι. ἐξῆλθεν δὲ ἀπὸ τῆς
πόλεως, καὶ κατανοήσας εἶδεν τὰ σημεῖα τῆς πόλεως,
καὶ εἶπεν αὕτη μὲν ἔστιν ἡ πόλις, πεπλάνημαι δέ. καὶ πάλιν
ὑπέστρεψεν εἰς τὴν πόλιν, καὶ ἐζήτησεν καὶ οὐδένα εὗρεν
τῶν ἰδίων καὶ εἶπεν. εὐλογητὸς κύριος, ὅτι μεγάλη ἔκστασις
ἐπέπεσεν ἐπ' ἐμέ. καὶ πάλιν ἐξῆλθεν ἔξω τῆς πόλεως, καὶ
ἔλεγεν τὰ μὲν σημεῖα τῆς πόλεως εἰσίν.

Καὶ ἔμεινεν λυπούμενος, μὴ εἰδὼς ποῦ ἀπελθεῖν, καὶ ἀπέ-
θηκεν τὸν κόφινον λέγων. καθέζομαι ὧδε, ἕως ὁ κύριος ἄρῃ τὴν
ἔκστασιν ταύτην ἀπ' ἐμοῦ. καθεζομένου δὲ αὐτοῦ εἶδεν τινὰ
γεραιὸν ἐρχόμενον ἐξ ἀγροῦ, καὶ λέγει αὐτῷ. σοὶ λέγω πρεσ-
βῦτα, ποία ἐστὶν ἡ πόλις αὕτη; καὶ λέγει αὐτῷ ὁ γέρων
ἱερουσαλὴμ ἐστὶ τέκνον. καὶ εἶπεν αὐτῷ ἀβιμέλεχ, ποῦ ἐστὶν
ἱερεμίας καὶ βαρούχ ὁ ἀναγνώστης, καὶ πᾶς ὁ λαὸς τῆς πό-
λεως ταύτης. ὅτι οὐχ εὗρον αὐτούς; καὶ εἶπεν ὁ πρεσβύτης
τῷ ἀβιμέλεχ, οὐκ εἶ σὺ ἐκ τῆς πόλεως ταύτης, ὅτι
σήμερον ἐμνήσθης τοῦ ἱερεμίου καὶ ἐπερωτᾷς περὶ αὐτοῦ
μετὰ τοσοῦτον χρόνον. ἱερεμίας γὰρ ἐν βαβυλῶνι ἐστὶν μετὰ

τοῦ λαοῦ ἠχμαλωτεύθησαν γὰρ ὑπὸ ναβουχοδονόσωρ τοῦ
βασιλέως. καὶ μετ' αὐτῶν ἐστιν ἱερεμίας εὐαγγελίσασθαι
αὐτοῖς. καὶ κατηχῆσαι αὐτοὺς τὸν λόγον.

Εὐθέως δὲ ἀκούσας ὁ ἀβιμέλεχ παρὰ τοῦ γηραιοῦ
lege ἄνθρωπον ἀνθρώπου εἶπεν, εἰ μὴ ἦς πρεσβύτης, καὶ οὐκ ἐξὸν ἀνθρώ-
ὑβρίσαι πων θεοῦ ὑβρίσαι τὸν μείζονα αὐτοῦ, ἐπεὶ κατεγέλων σου καὶ
ἔλεγον ὅτι μαίνῃ. καὶ ὅτι ἠχμαλωτεύθη ὁ λαὸς, ὡς
σὺ λέγεις εἰς βαβυλῶνα, εἰ ἦσαν οἱ καταῤῥάκται τοῦ οὐρανοῦ
forte ὅπου κατελθόντες ἐπ' αὐτοὺς, ὅπου ἐστὶν καιρὸς εἰς βαβυλῶνα
ἀπελθεῖν αὐτοῖς. καὶ σὺ λέγεις, ὅτι ἠχμαλωτεύθη ὁ λαὸς
εἰς βαβυλῶνα. πόση γὰρ ὥρα ἐστὶν ἀφ' οὗ ἀπέστειλέ με ὁ
πατήρ μου ἱερεμίας εἰς τὸ χωρίον τοῦ ἀγρίππα διὰ ὀλίγα
σῦκα ἵνα δώσωμεν τοῖς νοσοῦσιν τοῦ λαοῦ. καὶ ἀπελθὼν ἤνε-
γκα αὐτά, καὶ ἦλθον ἐπί τινι δένδρῳ τῷ καύματι, καὶ ἐκάθισα
τοῦ ἀναπαύσασθαι ὀλίγον. καὶ ἔκλινα τὴν κεφαλήν μου ἐν
τῷ κοφίνῳ καὶ ἐκοιμήθην ὀλίγον. καὶ ἀποκαλύψα τὸν
κόφινον τῶν σύκων, ὡς νομίζων, ὅτι ἐβράδυνα, καὶ εὗρον
αὐτὰ στάζοντα τὸ γάλα καθὼς ἐξέλεξα αὐτά. σὺ δὲ λέγεις
ὅτι ἠχμαλωτεύθη ὁ λαὸς εἰς βαβυλῶνα; εἰ δὲ ἀπιστεῖς
λαβὲ καὶ ἴδε τὰ σῦκα, καθὼς σοὶ ἐντέλλομαι. καὶ ἀπε-
κάλυψεν τὸν κόφινον τῶν σύκων τῷ γέροντι, καὶ εὗρον
αὐτὰ στάζοντα τὸ γάλα. ἰδὼν δὲ οὗτος αὐτὸν ὁ γέρων εἶπεν.

Ὦ υἱέ μου δίκαιος ἄνθρωπος υἱὸς εἶ, καὶ οὐκ ἠθέλησεν σε
ὁ θεὸς ἰδεῖν τὴν ἐρήμωσιν τῆς πόλεως ταύτης. ἕνεκεν τούτου
καὶ ἤνεγκε τὴν ἔκστασιν ταύτην ἐπὶ σέ.

ἴδε γὰρ ἑξήκοντα καὶ ἓξ ἔτη ἀφ' οὗ ἠχμαλωτεύθη
ὁ λαὸς εἰς βαβυλῶνα. καὶ ἵνα μάθῃς τέκνον ὅτι ἀληθῆ
εἰσὶν ἅπερ λέγω σοι, ἀνάβλεψον εἰς τὸν ἀγρὸν καὶ ἴδε ὅτι
οὐκ ἐφάνη ἡ αὔξησις τῶν γεννημάτων, ἴδε καὶ τὰ σῦκα ὅτι

ὁ καιρὸς αὐτῶν οὐκ ἔστιν. τότε ἐκέκραξεν φωνῇ μεγάλῃ λέ-
γων. εὐλογήσω σε ὁ θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἡ ἀνάπαυσις
τῶν ψυχῶν τῶν δικαίων ἐν παντὶ τόπῳ. τότε λέγει τῷ
γηραίῳ. ποῖος ἐστιν ὁ μὴν οὗτος. ὁ δὲ εἶπεν νησᾶν. οὗτός ἐστιν
δωδέκατος, καὶ ἐπάρας ἐκ τὰ σῦκα δέδωκεν τῷ γηραίῳ ἀν-
θρώπῳ καὶ λέγει αὐτῷ. ὁ θεὸς φυλαγωγήσει σε ἐπὶ τὴν
ἄνω ἱερουσαλήμ. μετὰ δὲ ταῦτα ἐξῆλθεν
ἀβιμέλεχ ἔξω τῆς πόλεως καὶ προσηύξατο πρὸς κύριον, καὶ
ἰδοὺ ἄγγελος κυρίου ἦλθεν καὶ κρατήσας αὐτὸν τῆς δεξιᾶς
χειρὸς ἀποκατέστησεν αὐτὸν εἰς τὸν τόπον, ὅπου ἦν βαρούχ
καθεζόμενος. εὗρεν δὲ αὐτὸν ἐν μνημείῳ καθεζόμενον,
καὶ ἐν τῷ θεῷ γῆθος ἀλλήλους, ἀνέβλεψε βαρούχ τοῖς ὀφθαλ-
μοῖς αὐτοῦ, καὶ ἴδεν τὰ σῦκα σκεπασμένα ἐν τῷ κοφίνῳ
τοῦ ἀβιμέλεχ. καὶ ἐπῆρεν τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν
οὐρανὸν, καὶ προσηύξατο λέγων. ἐστὶν θεὸς ὁ παρέχων
μισθαποδοσίαν τοῖς ἀγαπῶσιν αὐτόν. ἑτοίμασον σεαυτὴν
ἡ καρδία μου, καὶ εὐφραίνου, καὶ ἀγαλλία ἐν τῷ σκηνώματί
σου λέγων τῷ σαρκικῷ οἴκῳ σου, τὸ πένθος σου μεταστρα-
φῇ εἰς χαράν. ἔρχεται γὰρ ὁ ἱκανὸς καὶ ἀρεῖ σε ἐκ τοῦ
σκηνώματός σου, οὐ γὰρ γέγονεν σοι ἁμαρτία, ἀνάψυξον
ἐν τῷ σκηνώματί σου ἐν τῇ παρθενικῇ σου [illegible]. καὶ
πίστευσον ὅτι ζήσει. ἐπίβλεψον ἐπὶ τὸν κόφινον τῶν
σύκων, ἰδοὺ γὰρ ἑξήκοντα ἓξ ἔτη ἐποίησαν, καὶ οὐκ ἐμαράν-
θησαν, οὐδὲ ὤζεσιν, ἀλλὰ στάζουσιν τοῦ γάλακτος. οὕτως
γενήσεταί σου ἡ σάρξ, ἐὰν ποιήσῃς τὰ προσταχθέντα ὑπὸ
τοῦ ἀγγέλου τῆς δικαιοσύνης. ὁ φυλάξας τὸν κόφινον τῶν
σύκων αὐτὸς πάλιν φυλάξει σε ἐν τῇ δυνάμει αὐτοῦ.

Ταῦτα εἰπὼν ὁ Βαροὺχ λέγει τῷ Ἀβιμέλεχ· ἀνάστηθι
καὶ εὐξόμεθα ἵνα γνωρίσει ἡμῖν ὁ κύριος τὸ πῶς δυνηθῶμεν
ἀποστεῖλαι τὴν φάσιν ταύτην Ἱερεμίᾳ εἰς Βαβυλῶνα διὰ
τὴν σκέπην τὴν γενομένην σοι ἐν τῇ ὁδῷ. καὶ ηὔξατο Βα-
ροὺχ καὶ Ἀβιμέλεχ λέγοντες· ἡ δύναμις μου ὁ θεὸς μου καὶ
κύριος, τὸ ἐκλεκτὸν φῶς τὸ ἐξελθὸν ἐκ στόματος αὐτοῦ. παρα-
καλῶ καὶ δέομαί σου τῆς ἀγαθότητος. τὸ μέγα ὄνομα
σου ὃ οὐδεὶς δύναται γνῶναι, ἄκουσον τῆς φωνῆς τῶν δούλων
σου, καὶ γένε γνῶσις ἐν τῇ διανοίᾳ ἡμῶν, τί ποιήσομεν,
καὶ πῶς ἀποστείλωμεν πρὸς Ἱερεμίαν εἰς Βαβυλῶνα
τὴν φάσιν ταύτην.

Ἔτι δὲ προσευχομένου τοῦ Βαροὺχ καὶ τοῦ Ἀβιμέλεχ
ἰδοὺ ἄγγελος κυρίου ἦλθεν καὶ λέγει τῷ Βαροὺχ· ἅπαντας τοὺς
λόγους τούτους, ὁ σύμβουλος τοῦ φωτὸς μὴ μεριμνήσειτε
τὸ πῶς ἀποστεῖλαι πρὸς Ἱερεμίαν. ἔρχεται γὰρ πρὸς σὲ ὥρα τοῦ
φωτὸς ἀετός. σὺ γὰρ ἐπισκέψῃ πρὸς Ἱερεμίαν, γράψον οὖν ἐν
τῇ ἐπιστολῇ, ὅτι εἴπατε τοῖς υἱοῖς Ἰσραὴλ· ὅτι ὁ γενόμενος
ἐν ὑμῖν ἐξ ἔνος. ἀφοριζέσθω, καὶ ποιήσωσιν δεκαπέντε ἡμέ-
ρας καὶ μετὰ ταῦτα εἰσάξω ὑμᾶς εἰς τὴν πόλιν ὑμῶν
λέγει κύριος, ὁ μὴ ἀφοριζόμενος ἐκ τῆς Βαβυλῶνος, οὐ μὴ
εἰσέλθῃ εἰς τὴν πόλιν, καὶ ἐπιτιμῶν αὐτοῖς τοῦ μὴ ἀποδεχ-
θῆναι αὐτοὺς αὖθις τῶν Βαβυλωνιτῶν λέγει κύριος.

Καὶ ταῦτα εἰπὼν ὁ ἄγγελος ἀνεχώρησεν ἀπὸ τοῦ Βα-
ροὺχ. ὁ δὲ Βαροὺχ ἀπέστειλεν εἰς τὴν διασπορὰν τῶν ἐθνῶν
καὶ ἤνεγκε χάρτην καὶ μέλανον, καὶ ἔγραψεν ἐπιστολὴν λέγουσαν οὕτως.

Βαροὺχ ὁ δοῦλος τοῦ θεοῦ γράφει τῷ Ἱερεμίᾳ τῷ ἐν
τῇ αἰχμαλωσίᾳ τῆς Βαβυλῶνος. χαῖρε καὶ ἀγαλλία

ὅτι ὁ θεὸς οὐκ ἀφῆκεν ἡμᾶς ἐξελθεῖν ἐκ τοῦ σώματος τούτου
λυπουμένους διὰ τὴν πόλιν τὴν ἐρημωθεῖσαν καὶ ὑβρισθεῖσαν.
διὰ τοῦτο ἐσπλαγχνίσθη ἐπὶ τῶν δακρύων ἡμῶν καὶ ἐμνήσ-
θη τῆς διαθήκης, ἧς ἔστησεν μετὰ τῶν πατέρων ἡμῶν
ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακώβ. ἀπέστειλεν γὰρ πρός με τὸν ἄγγελον
αὐτοῦ, καὶ εἶπεν μοι τοὺς λόγους τούτους, οὓς ἀπέστειλα πρός σε.
οὗτοι εἰσὶν οἱ λόγοι, οὓς ἐλάλησεν κύριος ὁ θεὸς ἰσραὴλ ὁ ἐξαγαγὼν
ἡμᾶς ἐκ τῆς αἰγύπτου, ἐκ τῆς μεγάλης καμίνου, ὅτι οὐκ ἐφυλά-
ξατε τὰ δικαιώματά μου. ἀλλ' ὑψώθη ἡ καρδία ὑμῶν καὶ ἐτρα-
χηλιάσατε ἐνώπιόν μου. καὶ ἐν ὀργῇ καὶ θυμῷ παρέδωκα
ὑμᾶς τῇ καμίνῳ εἰς βαβυλῶνα. ἐὰν οὖν ἀκούσητε τῆς φωνῆς
μου λέγει κύριος ἐκ στόματος ἱερεμίου τοῦ παιδός μου. ὁ ἀκούων
ἀναφέρω αὐτὸν ἐκ βαβυλῶνος. ὁ δὲ μὴ ἀκούων ξένος γενήσεται
τῆς ἱερουσαλήμ. δοκιμάσει δὲ αὐτοὺς ἐκ τοῦ ὕδατος τοῦ ἰορ-
δάνου. ὁ μὴ ἀκούων φανερὸς γενήσεται. τοῦτο τὸ σημεῖον ἐπὶ
τῆς μεγάλης σφραγῖδος.

Καὶ ἀνέστη βαροὺχ καὶ ἐξῆλθεν ἐκ τοῦ μνημείου καὶ ἴδεν
τὸν ἀετὸν καθήμενον ἐπάνω τοῦ μνημείου, καὶ ἀποκριθεὶς
ἀνθρωπίνῃ φωνῇ ὁ ἀετὸς εἶπεν χαῖρε βαρούχ, ὁ οἰκονόμος τῆς
πίστεως, καὶ εἶπεν αὐτῷ βαροὺχ· ὅτι ἐκλεκτὸς εἶ σὺ ἐκ πάντων
τῶν πετεινῶν τοῦ οὐρανοῦ, ἐκ γὰρ αὐγῆς τῶν σῶν ὀφθαλμῶν
δηλόν ἐστιν. δεῖξον μοι οὖν τί ποιεῖς ἐνταῦθα, καὶ εἶπεν αὐτῷ ὁ
ἀετός. ἀπεστάλην ὧδε πρὸς σε, ὅπως πᾶσαν φάσιν, ἣν θέλεις,
ἀποστείλῃς δι' ἐμοῦ. καὶ εἶπεν αὐτῷ βαρούχ, εἰ δὲ δύνασαι σὺ
ἐπᾶραι τὴν φάσιν ταύτην τῷ ἱερεμίᾳ εἰς βαβυλῶνα, καὶ εἶπεν
ὁ ἀετός, εἰς τοῦτο γὰρ ἀπεστάλην. καὶ ἄρας βαροὺχ τὴν ἐπιστολὴν καὶ
ιε σῦκα ἐκ τοῦ κοφίνου τοῦ ἀβιμέλεχ, ἔδησεν αὐτὰ εἰς τὸν

τράχηλον τοῦ ἀετοῦ καὶ εἶπεν. σοὶ λέγω ὁ βασιλεὺς τῶν πετεινῶν,
ἄπελθε ἐν εἰρήνῃ καὶ μετ' ὑγείας, καὶ τὴν φάσιν ἔνεγκέ μοι
εἰς βαβυλῶνα καὶ μὴ ὁμοιωθῇς τῷ κόρακι ὃν ἐξαπέστειλεν
Νῶε ἐκ τῆς κιβωτοῦ καὶ οὐκ ἀπεστράφη. ἀλλ' ὁμοιώθητι τῇ
περιστερᾷ, ἥτις ἐκ τρίτου φάσιν ἤνεγκε τῷ δικαίῳ Νῶε.
οὕτως καὶ σὺ ἆρον τὴν φάσιν ταύτην καὶ τὴν ἀγγελίαν πρὸς
ἱερεμίαν, καὶ τοῖς δεσμίοις τοῖς σὺν αὐτῷ. ἵνα εὖ σοι γένηται. ἆ-
ρον τὴν χάρτην ταύτην τῷ λαῷ καὶ τῷ ἐκλεκτῷ τοῦ θεοῦ. καὶ
ἐὰν κυκλώσουσίν σε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ θέλωσι
πολεμῆσαι μετὰ σοῦ, ἀγωνίσθητι, καὶ ὁ κύριος δώσει σοι
δύναμιν καὶ μὴ ἐκκλίνῃς δεξιὰ μηδὲ ἀριστερὰ, ἀλλ' ὡς
βέλος ὑπάγον ὀρθῶς οὕτως ἄπελθε ἐν τῇ δυνάμει τοῦ θεοῦ,
καὶ ἔσται ἡ δόξα τοῦ θεοῦ ἐν πάσῃ ὁδῷ ᾗ πορεύσῃ.

Τότε ὁ ἀετὸς ἐπετάσθη ἔχων τὴν ἐπιστολὴν ἐν τῷ τρα-
χήλῳ αὐτοῦ, καὶ ἀπῆλθεν εἰς βαβυλῶνα, καὶ ἐλθὼν ἐκάθισεν
ἐκεῖ ἐπὶ ξύλου ἔξω τῆς πόλεως εἰς ἐρημικὸν τόπον. ἐκόπησε
δ' ἐκεῖ ἕως οὗ παρῆλθη ἱερεμίας ἐκ τῆς πόλεως.

Καὶ ἰδοὺ αὐτοὶ καὶ ὁ λαὸς ἐξήρχοντο θάψαι νεκρὸν
ἔξω τῆς πόλεως. ἠτήσατο γὰρ ἱερεμίας παρὰ τοῦ βασιλέως
Ναβουχοδονοσὸρ λέγων. δός μοι τόπον, ὅπως θάψω τοὺς
νεκροὺς τοῦ λαοῦ μου, καὶ ἔδωκεν αὐτῷ ὁ βασιλεύς. ἀπερχο-
μένων δὲ αὐτῶν, καὶ + ἔκραξεν ὁ ἀετὸς ἀνθρωπίνῃ φωνῇ
λέγων. σοὶ λέγω ἱερεμία ὁ ἐκλεκτὸς τοῦ θεοῦ ἄπελθε καὶ
σύναξον τὸν λαὸν σὺν γυναιξὶ καὶ τέκνοις. καὶ κατῆλθον ὅπου
ἦν ὁ ἀετὸς, καὶ κατελθὼν ὁ ἀετὸς ἐπὶ τὸν τεθνεῶτα ἀνέ-
ζησεν. τοῦτο δὲ ἐγένετο ἵνα πιστεύσωσιν. ἐθαύμασεν δὲ πᾶς ὁ λαὸς
ἐπὶ τῷ γεγονότι λέγοντες. ἔστιν ὁ θεὸς ὁ ὀφθεὶς τοῖς πατράσιν

+ κλαιόντων μετὰ τοῦ νεκροῦ ἦλθον κατέναντι τοῦ ἀετοῦ. καὶ

λου, καὶ ἔλθε ἐνταῦθα, ἵνα
ἀκούσωσιν τῆς ἐπιστολῆς ἧς ἤνεγκά σοι ἀπὸ τοῦ βαρούχ, καὶ ἀπὸ τοῦ ἀβιμέλεχ
Ἀκούσας δὲ ἱερεμίας ἐδόξασεν τὸν θεὸν, καὶ ἀπελθὼν συνῆξε τὸν λαὸν σὺν

ἡμῶν ἐν τῇ ἐρήμῳ διὰ μωϋσέως, καὶ ἐφάνη ἡμῖν διὰ τοῦ ἀετοῦ.
καὶ εἶπεν ὁ ἀετός, σοὶ λέγω ἱερεμία, ἰδοῦ λῦσον τὴν ἐπιστολὴν
ταύτην, καὶ ἀνάγνωθι αὐτὴν εἰς τὰ ὦτα τοῦ λαοῦ. λύσας
οὖν τὴν ἐπιστολὴν ἀνέγνω τῷ λαῷ. ἀκούσας δὲ ἅπας ὁ λαὸς
ἔκλαυσεν καὶ ἐπέθηκαν χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν. καὶ λέ-
γουσιν τῷ ἱερεμίᾳ. σῶσον ἡμᾶς καὶ ἀπάγγειλον ἡμῖν τί
ποιήσωμεν. πῶς εἰσέλθωμεν πάλιν εἰς τὴν πόλιν ἡμῶν. λέγει
πρὸς αὐτοὺς ἱερεμίας. Πάντα ὅσα ἠκούσατε
φυλάξατε, καὶ εἰσάξει ἡμᾶς κύριος εἰς τὴν πόλιν ὑμῶν.
ἔγραψε δὲ ἱερεμίας ἐπιστολὴν εἰς ἱερουσαλὴμ πρὸς βαρούχ
καὶ ἀβιμέλεχ ἐνώπιον τοῦ λαοῦ, τὰς θλίψεις τὰς γενομένας
ἐπ' αὐτούς. τὸ πῶς ἐλήφθησαν ὑπὸ τοῦ βασιλέως τῶν χαλδαί-
ων. καὶ τὸ πῶς ἕκαστος ἐθεώρει τὸν πατέρα αὐτοῦ δεσμευόμενον.
καὶ ὁ πατὴρ τὸ τέκνον ἐθεώρει παραδοθέντα εἰς τιμωρίαν. οἱ
οὖν ἰδόντες τὸν πατέρα αὐτοῦ παραμυθούμενον τὰ πρόσωπα αὐτῶν
ἐσκέπον ἵνα μὴ ἴδῃ τὸν υἱὸν τιμωρούμενον. καὶ ὁ θεὸς ἐφύ-
λαξεν καὶ ἐσκέπασεν σε ἵνα μὴ ἴδῃς ἡμᾶς τιμωρουμένους.
καὶ μνησκόμενοι ἐστέναζον καὶ ἐπέστρεφον εἰς τὸν οἶκον
ὡς ὀδυρόμενος. νῦν δὲ δεήθητι εἰς τὸν τόπον ὅπου εἶ σὺ καὶ
ἀβιμέλεχ ὑπὲρ τοῦ λαοῦ τούτου, ὅπως εἰσακουσθῇ ἡ δέησις
ἡμῶν καὶ ἐξέλθωμεν ἐντεῦθεν. λέγω γάρ σοι, ὅτι τὸν χρόνον,
ὃν ἐποιήσαμεν ἐνταῦθα κατέχουσιν ἡμᾶς λέγοντες. ὅτι εἴπατε
ἡμῖν ἐκ τῶν ᾠδῶν σιὼν καὶ τὴν ᾠδὴν τοῦ θεοῦ ὑμῶν. καὶ
λέγομεν αὐτοῖς. πῶς ᾄσωμεν τὴν ᾠδὴν κυρίου ἐπὶ γῆς
ἀλλοτρίας ὄντες. καὶ οὕτως ἔδησεν τὴν ἐπιστολὴν εἰς τὸν τράχηλον

τῦ αὐτῦ ὁ ἱερεμίας λέγων. ἄπελθε ἐν εἰρήνῃ. ἐπισκέψηται
ἡμᾶς ἀμφοτέρους ὁ κύριος. καὶ ἐπετάσθη ὁ ἀετὸς, καὶ εἰσῆλ-
θεν εἰς ἱερουσαλὴμ, καὶ ~~[illegible]~~ ἔδωκεν τὴν ἐπιστολὴν τῷ
βαροὺχ καὶ λύσας ἀνέγνω καὶ κατεφίλησεν αὐτὴν καὶ ἔκλαυσεν
μάλιστα ἀκούσας τὰς κακώσεις τοῦ λαοῦ.

ἱερεμίας δὲ ἄρας τὰ σῦκα ἔδωκε τοῖς νοσοῦσι τοῦ λαοῦ
καὶ ἔμεινεν διδάσκων αὐτοὺς τοῦ ἀπέχεσθαι τῶν ἀλισγημάτων
τῶν ἐθνῶν τῆς βαβυλῶνος. ἐγένετο δὲ ἡ ἡμέρα ἐν ᾗ ἐξέφερεν
κύριος τὸν λαὸν ἐκ βαβυλῶνος καὶ εἶπεν ὁ θεὸς πρὸς ἱερεμίαν
ἀνάστηθι ~~[illegible]~~ σὺ καὶ ὁ λαὸς καὶ δεῦτε ἐπὶ τὸν ἰορδάνην, καὶ ἐρεῖς τῷ
λαῷ ὁ θέλων καταλειψάτω τὰ ἔργα τῆς βαβυλῶνος, καὶ
τοὺς ἄρσενας τοὺς λαβόντας ἐξ αὐτῶν γυναῖκας. καὶ τὰς γυ-
ναῖκας τὰς λαβούσας ἐξ αὐτῶν ἄνδρας καὶ διαπεράσωσιν
οἱ ἀκούοντές σου. καὶ ἆρον αὐτοὺς εἰς ἱερουσαλὴμ, τοὺς δὲ μὴ
ἀκούοντάς σου μὴ εἰσαγάγῃς αὐτοὺς ἐκεῖ. ἱερεμίας δὲ ἐλάλη-
σεν τὰ ῥήματα ταῦτα πρὸς τὸν λαόν. καὶ ἀναστάντες
ἦλθον πρὸς τὸν ἰορδάνην τοῦ περάσαι. λέγων αὐτοῖς
τὰ ῥήματα ἃ εἶπεν κύριος πρὸς αὐτὸν καὶ τὸ ἥμισυ
ἐξ αὐτῶν οὐκ ἠθέλησεν ἀκοῦσαι τοῦ ἱερεμίου, ἀλλ' εἶπον
πρὸς αὐτόν. οὐ μὴ καταλείψωμεν τὰς γυναῖκας ἡμῶν
εἰς τὸν αἰῶνα, ἀλλ' ἀποστρέψωμεν αὐτὰς μεθ' ἡμῶν εἰς
βαβυλῶνα. ἐπέρασαν οὖν τὸν ἰορδάνην, καὶ ἦλθον εἰς ἱερου-
σαλήμ. καὶ ἔστη ἱερεμίας καὶ βαροὺχ καὶ ἀβιμέλεχ λέ-
γοντες. ὅτι πᾶς ἄνθρωπος ὁ κοινωνῶν βαβυλωνίταις
οὐ μὴ εἰσέλθῃ εἰς τὴν πόλιν ταύτην. καὶ εἶπον πρὸς

αὐτοὺς ἀναστάντες ἐπιστρέψωμεν εἰς βαβυλῶνα εἰς τὸν τόπον
καὶ τὴν πόλιν ἡμῶν, καὶ ἐπορεύθησαν.

Ἐλθόντων δὲ αὐτῶν εἰς βαβυλῶνα ἐξῆλθον οἱ βαβυ-
λωνῖται εἰς συνάντησιν αὐτῶν λέγοντες. οὐ μὴ εἰσέλθητε εἰς
βαβυλῶνα εἰς τὴν πόλιν ἡμῶν· ὅτι ἐμισήσατε ἡμᾶς καὶ
κρυφῇ ἐξήλθετε ἀφ᾽ ἡμῶν, γνόντες οὖν ἀνέστρεψαν καὶ ἦλθον,
εἰς τόπον ἔρημον, μακρόθεν τῆς ἱερουσαλήμ. καὶ ᾠκοδόμη-
σαν ἑαυτοῖς πόλιν, καὶ ἐπωνόμασαν τὸ ὄνομα αὐτῆς σαμάρειαν.
ἀπέστειλεν οὖν πρὸς αὐτοὺς ἱερεμίας τὸν ἀβιμέλεχ λέγων.
μετανοήσατε, ἔρχεται γὰρ ἄγγελος τῆς δικαιοσύνης, καὶ
εἰσάξει ὑμᾶς εἰς τὸν τόπον ὑμῶν τὸν ὑψηλόν. ἔμειναν
δὲ οἱ τοῦ ἱερεμίου χαίροντες, καὶ ἀναφέροντες θυσίας
ὑπὲρ τοῦ λαοῦ θ. ἡμέρας. ἐγένετο δὲ τῇ δεκάτῃ ἡμέρᾳ ἀνή-
νεγκεν ἱερεμίας μόνος θυσίαν, καὶ ηὔξατο εὐχὴν ἕως ἀνε-
λήφθη λέγων. ἅγιος, ἅγιος, ἅγιος, τὸ θυμίαμα τῶν δένδρων
τῶν ζώντων, τὸ φῶς τὸ ἀληθινὸν τὸ φωτίζον με ἕως
οὗ ἀναληφθῶ πρὸς σέ. περὶ τοῦ ἐλέους σου παρακαλῶ περὶ
ἄλλης εὐωδίας θυμιάματος. καὶ ἡ μελέτη μου Μιχαὴλ
ὁ ἀρχάγγελος τῆς δικαιοσύνης. ἀνοίγων τὰς πύλας τῆς
δικαιοσύνης ἕως ἂν εἰσενέγκῃ τοὺς δικαίους. παρακαλῶ σε
κύριε παντοκράτωρ πάσης κτίσεως, ὁ ἀγέννητος καὶ ὁ ἀπερι-
νόητος, ᾧ πᾶσα κρίσις κέκριται ἐν αὐτῷ πρὸ τοῦ ταῦτα γενέσθαι.

Ταῦτα λέγοντος τοῦ ἱερεμίου ἱσταμένου ἐν τῷ θυσιαστη-
ρίῳ μετὰ βαρούχ, ἐγένετο ὡς εἷς τῶν παραδιδόντων τὴν
ψυχὴν αὐτοῦ. καὶ ἔμειναν βαρούχ καὶ ἀβιμέλεχ κλαίοντες

καὶ λέγοντες μεγάλῃ τῇ φωνῇ· ὅτι ὁ πατὴρ ἡμῶν ἱερεμίας
ὁ ἱερεὺς τοῦ θεοῦ κατέλιπεν ἡμᾶς, καὶ ἀπῆλθεν. ἤκουσεν δὲ
πᾶς ὁ λαὸς τοῦ κλαυθμοῦ αὐτῶν, καὶ ἔδραμον ἐπ' αὐτοὺς
πάντες, καὶ εὗρον τὸν ἱερεμίαν κείμενον χαμαὶ τεθνη-
κότα, καὶ διέρρηξαν τὰ ἱμάτια αὐτῶν, καὶ ἐπέθηκαν
χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ ἔκλαυσαν κλαυθμὸν
πικρὸν, καὶ μετὰ ταῦτα ἡτοίμασαν αὐτῷ, ἵνα κηδεύσωσιν
αὐτόν. καὶ ἰδοὺ φωνὴ ἦλθεν λέγουσα· μὴ κηδεύσητε τὸν ἔτι ζῶντα.
ὅτι ἡ ψυχὴ αὐτοῦ εἰσέρχεται ἐν τῇ ζωῇ αὐτοῦ πάλιν. καὶ
ἀκούσαντες τῆς φωνῆς οὐκ ἐκήδευσαν αὐτόν. ἀλλ' ἔμειναν
περὶ κύκλῳ τοῦ σκηνώματος ἡμέρας τρεῖς λέγοντες,
πόσαν ὥραν μέλλει ἀναστῆναι. ἐγένετο δὲ μετὰ τρεῖς ἡ-
μέρας εἰσῆλθεν ἡ ψυχὴ αὐτοῦ εἰς τὸ σῶμα αὐτοῦ. καὶ ἐπῆ-
ρεν τὴν φωνὴν αὐτοῦ ἐν μέσῳ πάντων, καὶ εἶπεν. ἐν μιᾷ
φωνῇ δοξάσατε τὸν θεὸν πάντες, δοξάσατε τὸν θεὸν καὶ
τὸν υἱὸν τοῦ θεοῦ τὸν ἐξυπνίζοντα ἡμᾶς ἰησοῦν χριστὸν
τὸ φῶς τὸ αἰώνιον πάντων, ὁ ἄσβεστος λυχνός, ἡ ζωὴ
τῆς πίστεως. γίνεται γὰρ μετὰ τοὺς καιροὺς τούτους ἄλλα ἔτη
τοε καὶ ἔρχεται εἰς τὴν γῆν τῶν δένδρων τῆς ζωῆς τὸ
ἐν μέσῳ τοῦ παραδείσου φυτευθὲν, καὶ ποιήσει πάντα
δένδρα τὰ ἄκαρπα ποιῆσαι καρποὺς. καὶ αὐξηθήσονται καὶ
βλαστήσουσιν καὶ βεβλαστηκότα καὶ μεγαλαυχοῦντα καὶ λέγοντα.
ἐδώκαμεν τὸ τέλος ἡμῶν τῷ ἀέρι ποιήσει αὐτὰ ξηρανθῆ-
ναι μετὰ τὸ ὕψος τῶν κλάδων αὐτῶν καὶ ποιήσει αὐτὰ

κριθῆναι τὸ δένδρον τὸ στηριχθὲν καὶ τὸ κόκκινον ὡς ~~ἔριον~~ ἔρεον
λευκὸν γενήσεται. καὶ ὁ χιὼν μελανθήσεται· τὰ γλυκεῖα
ὕδατα ἁλμυρὰ γενήσονται ἐν τῷ μεγάλῳ φωτὶ τῆς εὐφρο-
σύνης τοῦ θεοῦ, καὶ εὐλογήσει τὰς νήσους τοῦ ποιῆσαι καρπὸν
ἐν τῷ λόγῳ τοῦ στόματος τοῦ χριστοῦ αὐτοῦ. αὐτὸς γὰρ ἐλεύ-
σεται καὶ ἐξελεύσεται καὶ ἐπιλέξεται ἑαυτῷ τοὺς ἀπο-
στόλους, ἵνα εὐαγγελίζονται ἐν τοῖς ἔθνεσιν, ὃν ἐγὼ ἑώρακα
κεκοσμημένον ὑπὸ πατρὸς αὐτοῦ ἐρχόμενον εἰς τὸν
κόσμον ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν καὶ ἐμπλήσει τὰς
πεινώσας ψυχάς.

Ταῦτα λέγοντος Ἱερεμίου περὶ τοῦ υἱοῦ τοῦ θεοῦ ὅτι
ἔρχεται εἰς τὸν κόσμον, ὠργίσθη ὁ λαὸς καὶ εἶπεν· ταῦτά ἐστιν
τὰ ῥήματα πάλιν τὰ ὑπὸ Ἡσαΐου τοῦ υἱοῦ Ἀμὼς εἰρημέ-
να λέγοντος· ὅτι εἶδον τὸν θεὸν καὶ τὸν υἱὸν τοῦ θεοῦ. δεῦτε οὖν
καὶ μὴ ἀποκτείνωμεν αὐτὸν τὸν ἐκείνου θάνατον, ἀλλὰ
λίθοις λιθοβολήσωμεν αὐτόν. ἐλυπήθησαν δὲ Βαροὺχ καὶ
Ἀβιμέλεχ, ὅτι ἤθελον ἀκοῦσαι τὰ μυστήρια ἃ εἶδεν. τότε
λέγει αὐτοῖς ὁ Ἱερεμίας· σιωπήσατε καὶ μὴ κλαύσατε.
οὐ μή με ἀποκτείνωσιν, ἕως οὗ πάντα διηγήσομαι ὑμῖν.
εἶπεν δὲ αὐτοῖς· ἐνέγκατέ μοι λίθον ὧδε. καὶ ἔστησεν
αὐτὸν καὶ εἶπεν· τὸ φῶς τὸ ἀληθινὸν ποίησον τὸν λίθον
τοῦτον καθ' ὁμοιότητά μου γενέσθαι, ἕως οὗ ἃ εἶδον μυστή-
ρια διηγήσομαι τῷ Βαροὺχ καὶ τῷ Ἀβιμέλεχ. τότε ὁ
λίθος διὰ προστάγματος θεοῦ ἀνέλαβεν τὴν ὁμοίωσιν τοῦ

ἱερεμίου. καὶ ἐλιθοβόλουν αὐτὸν νομίζοντες ὅτι τὸν ἱερε-
μίαν λιθάζουσι, ὁ δὲ ἱερεμίας παρέδωκεν τὰ μυστήρια
ἃ ἴδεν τῷ βαροὺχ καὶ τῷ ἀβιμέλεχ.

Καὶ μετὰ ταῦτα ἦλθεν καὶ ἔστη ἐν μέσῳ τοῦ λαοῦ
ἐκτελέσαι βουλόμενος τὴν οἰκονομίαν αὐτοῦ. ἐβόησεν δὲ ὁ
λίθος λέγων. ὦ μωροὶ υἱοὶ ἰσραὴλ διατί λιθοβολεῖτε
με νομίζοντες, ὅτι ἐγώ εἰμι ἱερεμίας. ἰδοὺ γὰρ ἱερεμίας
ἐν τῷ μέσῳ ὑμῶν ἵσταται, ὡς ἴδον δὲ αὐτὸν εὐθέως
ἔδραμον πρὸς αὐτὸν μετὰ πολλῶν λίθων, καὶ ἐπληρώθη
αὐτῷ ἡ οἰκονομία ὅτι τοὺς προφήτας ἐλιθοβόλησαν
καθὼς εἶπεν ἡ γραφή. Καὶ ἐλθόντες βαροὺχ καὶ
ἀβιμέλεχ ἔθαψαν αὐτόν, καὶ λαβόντες τὸν λίθον
ἔθηκαν ἐπὶ τὸ μνῆμα αὐτοῦ. ἐπιγράψαντες οὕτως.
Ὁ λίθος οὗτος ἐστὶν ὁ βοηθὸς ἱερεμίου, καὶ τὰ λοιπὰ
τῶν λόγων αὐτοῦ καὶ ἅπερ γέγραπται ἐν τῇ ἐπιστολῇ
βαρούχ. Τῷ δὲ θεῷ ἡ δόξα εἰς τὸν αἰῶνα

Ἀμήν.

---

Justinus martyr dialogo cum Tryphone
geminos vocat λόγους ἱερεμίου τοῦ προφήτου
& quia Judaei illos non recipiunt, ideirco
ex iis negat se ἀπόδειξιν περὶ τοῦ Χριστοῦ
facturum.

1